11 καὶ οὗτος ἀποθάνῃ. [11]καὶ ἦλθεν Ραγουηλ εἰς τὴν οἰκίαν ἑαυτοῦ BA
12 [12]καὶ εἶπεν Εδνα τῇ γυναικὶ αὐτοῦ Ἀπόστειλον μίαν τῶν παιδι-
σκῶν, καὶ ἰδέτωσαν εἰ ζῇ· εἰ δὲ μή, ἵνα θάψωμεν αὐτὸν καὶ μηδεὶς
13 γνῷ. [13]καὶ εἰσῆλθεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν καὶ εὗρεν τοὺς
14 15 δύο καθεύδοντας. [14]καὶ ἐξελθοῦσα ἀπήγγειλεν αὐτοῖς ὅτι ζῇ. [15]καὶ
εὐλόγησεν Ραγουηλ τὸν θεὸν λέγων Εὐλογητὸς εἶ σύ, ὁ θεός, ἐν
πάσῃ εὐλογίᾳ καθαρᾷ καὶ ἁγίᾳ, καὶ εὐλογείτωσάν σε οἱ ἅγιοί σου
καὶ πᾶσαι αἱ κτίσεις σου, καὶ πάντες οἱ ἄγγελοί σου καὶ οἱ ἐκ-
16 λεκτοί σου εὐλογείτωσάν σε εἰς πάντας τοὺς αἰῶνας. [16]εὐλογητὸς
εἶ ὅτι ηὔφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπενόουν, ἀλλὰ
17 κατὰ τὸ πολὺ ἔλεός σου ἐποίησας μεθ᾽ ἡμῶν. [17]εὐλογητὸς εἶ ὅτι
ἠλέησας δύο μονογενεῖς· ποίησον αὐτοῖς, δέσποτα, ἔλεος, συντέ-
λεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγιείᾳ μετὰ εὐφροσύνης καὶ ἐλέους.
18 [18]ἐκέλευσεν δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον.
19 20 [19]Καὶ ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δέκα τεσσάρων. [20]καὶ εἶ-
πεν αὐτῷ Ραγουηλ πρὶν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου

10 ουτος] αυτος A† || 12 ιδετωσαν] ειδ. B*AV*†, σαν > Vpau. | γνω] γνωτω A || 15 καθ. και αγια > B*† | και paenult. > B | παντας > B || 20 αυτω] -τοις A†

---

11 ἀποθάνῃ καὶ γενώμεθα κατάγελως καὶ ὀνειδισμός. [11]καὶ ὅτε συνετέλε- S
σαν ὀρύσσοντες τὸν τάφον, ἦλθεν Ραγουηλ εἰς τὸν οἶκον καὶ ἐκάλεσεν
12 τὴν γυναῖκα αὐτοῦ [12]καὶ εἶπεν Ἀπόστειλον μίαν τῶν παιδισκῶν καὶ εἰσ-
ελθοῦσα ἰδέτω εἰ ζῇ· καὶ εἰ τέθνηκεν, ὅπως ἂν θάψωμεν αὐτόν, ὅπως
13 μηδεὶς γνῷ. [13]καὶ ἀπέστειλαν τὴν παιδίσκην καὶ ἧψαν τὸν λύχνον
καὶ ἤνοιξαν τὴν θύραν, καὶ εἰσῆλθεν καὶ εὗρεν αὐτοὺς καθεύδον-
14 τας καὶ ὑπνοῦντας κοινῶς. [14]καὶ ἐξελθοῦσα ἡ παιδίσκη ὑπέδειξεν
15 αὐτοῖς ὅτι ζῇ καὶ οὐδὲν κακόν ἐστιν. [15]καὶ εὐλόγησαν τὸν θεὸν
τοῦ οὐρανοῦ καὶ εἶπαν Εὐλογητὸς εἶ, θεέ, ἐν πάσῃ εὐλογίᾳ καθαρᾷ·
16 εὐλογείτωσάν σε εἰς πάντας τοὺς αἰῶνας. [16]καὶ εὐλογητὸς εἶ ὅτι
εὔφρανάς με, καὶ οὐκ ἐγένετο καθὼς ὑπενόουν, ἀλλὰ κατὰ τὸ πολὺ
17 ἔλεός σου ἐποίησας μεθ᾽ ἡμῶν. [17]καὶ εὐλογητὸς εἶ ὅτι ἠλέησας
δύο μονογενεῖς· ποίησον αὐτοῖς, δέσποτα, ἔλεος καὶ σωτηρίαν καὶ
18 συντέλεσον τὴν ζωὴν αὐτῶν μετ᾽ εὐφροσύνης καὶ ἐλέου. [18]τότε
εἶπεν τοῖς οἰκέταις αὐτοῦ χῶσαι τὸν τάφον πρὸ τοῦ ὄρθρον γε-
νέσθαι.
19 [19]Καὶ τῇ γυναικὶ εἶπεν ποιῆσαι ἄρτους πολλούς· καὶ εἰς τὸ βου-
κόλιον βαδίσας ἤγαγεν βόας δύο καὶ κριοὺς τέσσαρας καὶ εἶπεν
20 συντελεῖν αὐτούς, καὶ ἤρξαντο παρασκευάζειν. [20]καὶ ἐκάλεσεν
Τωβιαν καὶ εἶπεν αὐτῷ Δέκα τεσσάρων ἡμερῶν οὐ μὴ κινηθῇς